ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Κυριακή του Παραλύτου

19 Μαΐου 2019

Απόστολος – ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ Θ' 32 - 42

Ἐν ταῖς ημέραις ἐκείναις, ἐγένετο Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος. Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη. Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς. Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθά, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. Δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν. Γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

Απόστολος – Μετάφραση,

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ Θ' 32 - 42

Εκείνες τις μέρες, περνώντας ο Πέτρος απ' όλες αυτές τις εκκλησίες, κατέβηκε και στους χριστιανούς που κατοικούσαν στην Λύδδα. Εκεί βρήκε κάποιον άνθρωπο που λεγόταν Αινέας. Αυτός ήταν οκτώ χρόνια κατάκοιτος, επειδή ήταν παράλυτος. Ο Πέτρος του είπε: «Αινέα, σε γιατρεύει ο Ιησούς Χριστός. Σήκω και στρώσε το κρεββάτι σου». Και αυτός αμέσως σηκώθηκε. Όλοι όσοι κατοικούσαν στην Λύδδα και στον Σάρωνα τον είδαν και δέχτηκαν τον Ιησού για Κύριό τους. Στην Ιόππη ήταν μια μαθήτρια που την έλεγαν Ταβιθά – στα ελληνικά σημαίνει «Δορκάδα». Αυτή είχε κάνει πολλές αγαθοεργίες και ελεημοσύνες. Εκείνες τις μέρες συνέβη να αρρωστήσει και να πεθάνει. Την έλουσαν, λοιπόν, και την έβαλαν στο ανώγειο. Η Λύδδα ήταν κοντά στην Ιόππη και όταν οι μαθητές άκουσαν ότι ο Πέτρος ήταν εκεί, του έστειλαν δύο άνδρες και τον παρακαλούσαν να πάει σ' αυτούς όσο γίνεται πιο γρήγορα. Αυτός ξεκίνησε και πήγε μαζί τους. Μόλις έφτασε, τον ανέβασαν στο ανώγειο. Αμέσως τον περικύκλωσαν όλες οι χήρες κλαίγοντας και δείχνοντάς του τα ρούχα που είχε φτιάξει γι' αυτούς η Δορκάδα όσο ζούσε. Ο Πέτρος τότε τους έβγαλε όλους έξω, γονάτισε και προσευχήθηκε. Κατόπιν γύρισε στη νεκρή και της είπε: «Ταβιθά, σήκω πάνω». Αυτή άνοιξε τα μάτια της, κι όταν είδε τον Πέτρο ανασηκώθηκε. Ο Πέτρος της έδωσε το χέρι του και τη σήκωσε. Ύστερα φώναξε τους πιστούς και τις χήρες και τους την παρουσίασε ζωντανή. Αυτό έγινε γνωστό σ' όλη την Ιόππη, και πολλοί πίστεψαν στον Κύριο.

Ευαγγέλιο – ΚΑΤΑ ΙΩΑΝΝΗΝ Ε' 1 – 15

Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, ἡ ἐπιλεγομένη ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο ᾧ δήποτε κατείχετο νοσήματι. Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ. τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· θέλεις ὑγιὴς γενέσθαι; Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειρε, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει. Ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν· οὐκ ἔξεστί σοι ἆραι τὸν κράβαττον. Ἀπεκρίθη αὐτοῖς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. Ἠρώτησαν οὖν αὐτόν· τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει; Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται. Ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΙΩΑΝΝΗΝ Ε' 1 – 15

Εκείνο τον καιρό, ανέβηκε ο Ιησούς στα Ιεροσόλυμα. Κοντά στην προβατική πύλη, στα Ιεροσόλυμα, υπάρχει μια δεξαμενή με πέντε στοές, που εβραϊκά ονομάζεται Βηθεσδά. Σ' αυτές τις στοές κείτονταν πολλοί άρρωστοι, τυφλοί, κουτσοί, παράλυτοι, που περίμεναν να αναταραχθεί το νερό· γιατί, από καιρό σε καιρό, ένας άγγελος Κυρίου κατέβαινε στη δεξαμενή κι ανατάραζε τα νερά· όποιος, λοιπόν, έμπαινε πρώτος μετά την αναταραχή του νερού, αυτός γινόταν καλά, όποια κι αν ήταν η αρρώστια που τον ταλαιπωρούσε. Εκεί ήταν κι ένας άνθρωπος, άρρωστος τριάντα οκτώ ολόκληρα χρόνια. Όταν τον είδε ο Ιησούς κατάκοιτο, τον ρώτησε: «Θέλεις να γίνεις καλά;» Ήξερε πως ήταν έτσι για πολύν καιρό. «Κύριε», του αποκρίθηκε ο άρρωστος, «δεν έχω κανέναν να με βάλει στη δεξαμενή μόλις αναταραχτούν τα νερά· έτσι, ενώ εγώ προσπαθώ να πλησιάσω μόνος μου, πάντοτε κάποιος άλλος κατεβαίνει στο νερό πριν από μένα». Ο Ιησούς του λέει: «Σήκω πάνω, πάρε το κρεβάτι σου και περπάτα». Κι αμέσως ο άνθρωπος έγινε καλά, σήκωσε το κρεβάτι του και περπατούσε. Η μέρα που έγινε αυτό ήταν Σάββατο. Έλεγαν, λοιπόν, οι Ιουδαίοι άρχοντες στο θεραπευμένο: «Είναι Σάββατο, και δεν επιτρέπεται να σηκώνεις το κρεβάτι σου». Αυτός όμως τους απάντησε: «Εκείνος που μ' έκανε καλά, εκείνος μου είπε πάρε το κρεβάτι σου και περπάτα». Τον ρώτησαν: «Ποιος είναι ο άνθρωπος που σου είπε πάρε το και περπάτα;» Ο θεραπευμένος όμως δεν ήξερε να πει ποιος ήταν, επειδή ο Ιησούς είχε φύγει απαρατήρητος εξαιτίας του πλήθους που ήταν μαζεμένο εκεί. Αργότερα ο Ιησούς τον βρήκε στο ναό και του είπε: «Βλέπεις, έχεις γίνει καλά· από δω και πέρα μην αμαρτάνεις, για να μην πάθεις τίποτα χειρότερο». Ο άνθρωπος έφυγε αμέσως κι ανάγγειλε στους Ιουδαίους άρχοντες ότι ο Ιησούς ήταν αυτός που τον γιάτρεψε.

19 Μαΐου 2019, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης